## L.

### ν'. Ὅπως τὸ ὑποκείμενον καὶ ἡ φύσις πραγματικῶς διαφέρουσιν.

Ἐντεῦθεν δὲ δῆλον ἐστὶν ὅτι Σωκράτης καὶ ἀνθρωπότης, τουτέστιν ὑποκείμενον καὶ φύσις, πραγματικῶς διαφέρουσι κατὰ τουτονὶ τὸν διδάσκαλον· ἐγκλείεται γάρ τι πραγματικὸν τῷ Σωκράτει, ὅπερ ἀπὸ τῆς ἀνθρωπότητος ἀποκλείεται· ταῦτα δέ εἰσι τὰ ἀτομοῦντα· ὃ δῆλόν ἐστιν ἐκ τοῦ τὸν Σωκράτην λέγεσθαι ἔκ τε | τῆς ἀνθρωπότητος καὶ τῶν ἀτομούντων f. 49v συγκεῖσθαι· σαφὲς γάρ ἐστιν ὅτι μέρος ἅπαν, οἷον ἂν εἴη, εἴτε οὐσία εἴτε συμβεβηκός, ἐκ τῆς οὐσίας ἐστὶ καὶ τοῦ ἐνδοτέρου λόγου τοῦ ὅλου· ὅθεν ἀληθές ἐστι λέγειν τὴν λευκότητα ἐκ τῆς οὐσίας εἶναι καὶ τοῦ ἐνδοτέρου λόγου τουδὶ τοῦ συνθέτου, ὅπερ ἐστὶν ἄνθρωπος λευκός, εἰ καὶ ἡ λευκότης συμβέβηκε τῷ ἀνθρώπῳ.

Ἀλλ' ἐπειδή, ὡς εἴρηται, ἡ τοῦ εἴδους σημασία. — Ἐπειδὴ ἠδύνατό τις τοῖς εἰρημένοις ἐπαπορεῖν καὶ διατί τὸ μὲν σῶμα σημαίνει μέρος ὑλικὸν τοῦ ὅλου, ἡ δ' ἀνθρωπότης εἰδικόν, φθάνων αὐτὸς τοῦτο διασαφεῖ καὶ τὴν αἰτίαν τοῦ τοῦθ' οὕτως ἔχειν ἐκτίθησιν· καὶ ἡ λέξις τοῦ διδασκάλου, σαφὴς οὖσα ἔκ γε τῶν προειρημένων, ἐπιστασίας οὐ δεῖται.

## LI.

### να'. Ὅπως ἡ ἀνθρωπότης δύναται λέγεσθαι μέρος εἰδικὸν καὶ ὑλικὸν τοῦ ἀτόμου.

Τοῦτο δεῖ μόνον προσδιορίσασθαι ὡς, εἰ καὶ εἶδός τι ἐστὶν ἡ ἀνθρωπότης, τουτέστι μορφή, ἀλλὰ τῷ ἀτόμῳ παραβαλλομένη τὸν τῆς ὕλης λόγον ὑπέρχεται, διότι πᾶν ἀδιόριστον καὶ ἐν δυνάμει ὂν λόγον ὕλης ἔχει πρός γε τὸν διορισμὸν αὐτοῦ καὶ τὴν ἐντελέχειαν. Ἐπεὶ γοῦν καὶ ἡ ἀνθρωπότης ἀφ' ἑαυτῆς ἐστιν ἀδιόριστος πρὸς τάδε τὰ ἀτομοῦντα καὶ τάδε, καὶ ἐν δυνάμει πρὸς πάντα ἐστίν, καὶ ᾗ μέν ἐστιν ἐν τῳδί, δέχεται τὰ ἀτομοῦντα ταδί, ὡς δέ ἐστιν ἐν ἐκείνῳ, ἕτερα δέχεται, ἑπόμενόν ἐστιν αὐτῇ τὸν ὑλικὸν προσγίνεσθαι λόγον, καὶ οὐδ' ἔξω λόγου τοῦτο ἐστίν· εἶδος γάρ τι, κἂν ᾖ τῶν τιμιωτέρων, ὕλης ἔχειν δύναται λόγον ἐν τῇ πρὸς ἕτερον εἶδος τάξει, κἂν ἀτιμότερον ᾖ, εἰ μόνον θάτερον τούτων δύναιτο δέχεσθαι τὸ λοιπὸν καὶ ἔχοι τὰς ἰδιότητας ἐκείνας ἐν ἑαυτῷ, περὶ ὧν εἴρηται πρότερον· τοῦτον γὰρ ἔχει τὸν τρόπον καὶ ἡ ψυχὴ ἐν τῇ πρὸς τὰς ἐπιστήμας καὶ ἀρετὰς τάξει. Καθὸ δὲ ἡ ἀνθρωπότης ἐν ὕλῃ προσλαμβάνεται σεσημασμένῃ, εἶδος ἐστὶν ἄντικρυς ἀφ' ἑαυτῆς καὶ μορφή, καὶ χώραν ἔχει μορφῆς, οὐχὶ δὲ καὶ ὕλης οὐδ' ὁπωσοῦν.

---

14 Ἀλλ' ἐπειδή: c. III, 3, p. 162, 10   26 γοῦν: οὖν L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Οὕτω τοίνυν φαίνεται, ὅτι ἡ οὐσία. — Ἐνταῦθα τίθησι πόρισμα ἐκ τῶν εἰρημένων αὐτῷ συνηγμένον· τὸ δέ ἐστιν, ὅτι ὅ τε ἄνθρωπος καὶ ἡ ἀνθρωπότης τὴν τοῦ ἀνθρώπου οὐσίαν σημαίνει, διαφόρως μέντοι· καὶ τὴν διαφορὰν τῆς σημασίας προστίθησιν. Ἡ μὲν οὖν λέξις κἀνταῦθα τοῦ διδασκάλου σαφὴς αὐτόθεν.

## LII.

### νβ'. Ὅπως ὁ Σωκράτης, ὁ ἄνθρωπος καὶ ἡ ἀνθρωπότης διαφέρουσιν.

Δεῖ μέντοι γε σκοπεῖν ἐπὶ τούτοις, ὡς ἐν Σωκράτει καὶ ἀνθρώπῳ καὶ ἀνθρωπότητι διαφορά τις ἐστίν. Ὅσον πρὸς τὴν σχέσιν τῶν ἀτομούντων, αὕτη· ὅτι ὁ μὲν Σωκράτης ἁπλῶς ἀνεπτυγμένως καὶ διωρισμένως ἐγ-
f. 50 κλείει τὰ ἀτομοῦντα· ὁ δ' ἄνθρωπος διωρισμένως μὲν οὔτ' |ἐγκλείει οὔτ' ἀποκλείει, ἀδιορίστως δὲ μόνον ἐγκλείει καὶ διὰ τοῦτο κατὰ τοῦ Σωκράτους κατηγορεῖσθαι δύναται. Ἡ δ' ἀνθρωπότης ἁπλῶς καὶ διωρισμένως ταῦτ' ἀποκλείει, καὶ διὰ τοῦτο οὔτε κατὰ τοῦ ἀνθρώπου, οὔτε κατὰ τοῦ Σωκράτους δύναται λέγεσθαι.

## LIII.

### νγ'. Πῶς ἡ ὕλη ἐστὶν ἀρχὴ τῆς ἀτομότητος.

Καιρὸν δ' ἔχει ζητεῖν ἐνταῦθα καὶ τί ἐστιν ἐν τοῖς ὑλικοῖς τὸ τῆς ἀτομότητος αἴτιον. Οἱ μὲν γὰρ ἀρχαιότεροι τὸ εἶδος ἐδόξασαν εἶναι ταύτης ἀρχήν, τοιούτῳ χρώμενοι λόγῳ· Δι' οὗ τι ἔχει τὸ εἶναι, δι' αὐτοῦ καὶ τὸ διακεκρίσθαι παντὸς ἄλλου ἔχει· ἔχει δὲ ἕκαστον τὸ εἶναι τῷ οὐσιώδει εἴδει αὐτοῦ· δι' αὐτοῦ ἄρα καὶ τὸ διακεκρίσθαι ἔχει· ἀλλὰ τὸ δι' οὗ τι διακέκριται παντὸς ἄλλου, τοῦτο καὶ ἀδιαίρετόν ἐστιν ἐν ἑαυτῷ· τὸ δὲ ἄτομον ἔστι τι ἐν ἑαυτῷ ἀδιαίρετον καὶ παντὸς ἄλλου διακεριμένον τῷ εἴδει· διὰ τοῦ εἴδους ἄρα ἕκαστόν ἐστιν ἀδιαίρετον καὶ παντὸς ἄλλου διῃρημένον.

Καὶ ἄλλως δὲ οἱ τοιοῦτοι συνελογίζοντο· Ὃ δίδωσί τινι τὸ ἓν εἶναι, τοῦτο τῆς ἀτομότητός ἐστιν ἀρχή· δίδωσι δὲ ἑκάστῳ τὸ ἓν εἶναι τὸ εἶδος· ἄρα καὶ τὸ συμπέρασμα. Τῆς μείζονος φανερᾶς οὔσης αὐτόθεν, ἡ ἐλάττων δείκνυται οὕτως· Τὸ εἶδος δίδωσι τὸ εἶναι· ᾧ δὲ τὸ εἶναι δίδωσι, τούτῳ καὶ τὸ ἓν εἶναι διδόναι προσήκει· τὸ γὰρ ἓν καὶ τὸ ὂν ἀντιστρέφουσιν· ὥστε παρὰ τοῦ εἴδους ἑκάστῳ τὸ ἓν εἶναι ἐστίν.

Ἡ δὲ τοιαύτη δόξα οὐκ ἔστιν ἀληθής· πᾶσα γὰρ διαφορὰ διὰ τῆς μορφῆς γινομένη διαφορά ἐστι κατ' εἶδος, ὡς ἐν ἑβδόμῳ τῶν μετὰ τὰ φυσικὰ λέγεται, καὶ διὰ τοῦτο αἱ διάφοροι φύσεις τῶν ὄντων εἴδει δια-

---

1 *Οὕτω τοίνυν φαίνεται*: c. III, 3, p. 162, 25 8 Titre omis dans L
14 *ἀορίστως* S

Ε.Υ.Δ τμ. Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

φέρουσι, διότι διακέκρινται ταῖς μορφαῖς αὐτῶν. Εἰ τοίνυν ἀρχὴ τῆς ἀτομότητος ἦν ἡ μορφή, εἴπετ' ἂν τὰ ἐν τῷ αὐτῷ εἴδει ἄτομα διαφέρειν ἀλλήλων κατὰ τὸ εἶδος, ὅπερ πρὸς τῷ ἄλλως ἀδυνάτῳ καὶ συμπλοκή ἐστιν ἀντιφάσεως. Καὶ τὰ πρὸς ταύτην τὴν δόξαν ἐπιχειρήματα ῥᾴδιόν ἐστι λύειν. Ὥσπερ γὰρ δίδοται τὸ εἶναι ὁθενοῦν, οὕτω δίδοται καὶ τὸ διακεκριμένον εἶναι· τὸ δὲ εἶδος δίδωσι τὸ εἶναι οὐσιωδῶς, καὶ διὰ τοῦθ' ὁ Σωκράτης τῷ εἴδει αὐτοῦ οὐσιωδῶς παντὸς ἄλλου διήρηται, ἀλλ' ἀριθμητικῶς διήρηται, οὐ τῷ οὐσιώδει εἴδει· ἡ γὰρ τοιαύτη διαφορὰ οὐσιώδης ἐστίν, ἀλλά τινι συμβεβηκότι. Ὅθεν δεῖ διακρίνειν οὐσιώδη τε μορφὴν καὶ κατὰ συμβεβηκός, καὶ εἶναι οὐσιῶδές τε καὶ ἐπουσιῶδες. Ὡσαύτως καὶ πρὸς τὸ δεύτερον ἐπιχείρημα δεῖ λέγειν, ὅτι τὸ εἶδος ᾧ τρόπῳ δίδωσι τὸ εἶναι, οὕτω καὶ τοῦ ἓν | εἶναι ἐστὶν αἴτιον. Ἐπεὶ γοῦν τὸ εἰδικὸν εἶναι f. 50v δίδωσιν, καὶ τὴν τῷ εἴδει ἑνότητα δίδωσιν ἑπομένως. Εἰ δὲ λέγοι τις τὸ εἶδος κοινῶς μὲν λαμβανόμενον τὸ εἰδοποιὸν εἶναι διδόναι, τοδὶ δὲ τὸ εἶδος τοῦ κατὰ τὸν ἀριθμὸν εἶναι γίνεσθαι αἴτιον, ἀποκριτέον ὅτι τοῦτο μέν ἐστιν ἀληθές, ἀλλὰ τοδὶ τὸ εἶδος οὐχ ἔστι τοδὶ εἰ μὴ τῷ εἶναι ἐν τῇδε τῇ ὕλῃ, καὶ ἡ ὕλη οὐχ ἔχει τὸ εἶναι ἤδη εἰ μὴ διὰ τὸ σεσημάνθαι· ὅλον ἄρα τὸ τῆς ἀτομότητος αἴτιον ἡ σεσημασμένη ὕλη μᾶλλον ἂν εἴη, οὔτοι γε τὸ εἶδος, οὐδέ τι ἕτερον.

Ὅσοι δὲ τὴν ὕλην ἁπλῶς αἰτίαν ἀπεφήναντο τῆς ἀτομότητος εἶναι, τὸν Φιλόσοφον παρῆγον ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικὰ λέγοντα ἓν ἀριθμῷ εἶναι ὧν ἡ ὕλη μία ἐστὶ καὶ ἡ αὐτὴ ἀριθμῷ. Ἐντεῦθεν γὰρ δοκεῖν αὐτόν φασι βούλεσθαι τὴν κατὰ τὸν ἀριθμὸν ἑνότητα διὰ τὴν ὕλην ἐν τοῖς πράγμασι γίνεσθαι· τὸ δὲ ἄτομον τοιοῦτον ἐστὶ τῷ εἶναι ἓν ἀριθμῷ. Ταύτης δὲ τῆς δόξης καὶ ὁ διδάσκαλος οὗτος εἶναι δοκεῖ, πλὴν οὐχ ἁπλῶς, λέγων τὴν ὕλην, ὡς ἐκεῖνοι, τῆς ἀτομότητος ἀρχήν, ἀλλὰ τήν γε σεσημασμένην, λόγῳ τοιῷδε· Κατὰ τὸν Φιλόσοφον ἐν πρώτῳ τῶν Φυσικῶν, τῆς ποσότητος ἀναιρουμένης, ἡ οὐσία μένει λοιπὸν ἀδιαίρετος, ὥστε τῇ ποσότητι ἔχει τι τὸ εἶναι ἀπ' ἄλλου διαιρετόν, καὶ ἥ τε διαίρεσις, ἥ τε διάκρισις ἀποδίδοται τῇ ποσότητι· ἡ ὕλη τοίνυν οὕτω σὺν τῇ ποσότητι ἀρχή ἐστι τῆς ἀτομότητος· οὕτω δὲ ἔχουσα ἡ ὕλη, σεσημασμένη ἐστὶ καὶ δεικτή, ὥστε αὐτή ἐστι τὸ τῆς ἀτομότητος αἴτιον.

Ἔνιοι δέ τὸ μὲν τὴν σεσημασμένην ὕλην αὐτὸν αἰτιᾶσθαι τῆς ἀτομότητος, οὐ τὴν ὕλην ἁπλῶς, ἐπαινοῦσιν· ἡ γὰρ πρὸς τὸ εἶδος ἀνήκουσα ὕλη εἰς πλείω ἂν ὑποκείμενα ὁμοειδῆ πολλαπλασιάζοιτο, οὐκ εἰς ἄτομα διαφέροντα ἀριθμῷ. Τὸ δὲ μὴ μᾶλλον τῇ ποσότητι τὴν ἀρχὴν τῆς ἀτομότητος ἀποδιδόναι, τοῦτ' αὐτοῦ καταμέμφονται· εἰ γὰρ τὴν ὕλην δεῖ λέγειν τούτου αἰτίαν διὰ τὸ σεσημάνθαι, τὸ σημειοῦν τὴν ὕλην καὶ διορίζον, τοῦτο

12 *γοῦν*: *οὖν* L  16 *τὸ* om L  18 *ὕλη* om L  26 *γε* om L

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μᾶλλον ἐχρῆν αὐτὸν αἰτίαν λέγειν τῆς ἀτομότητος· δι' ὃ γάρ τι ἔστιν, ἐκεῖνο μᾶλλον ἔστιν. Διὰ τοῦτ' ἀκριβολογούμενοι λέγουσιν αὐτοί, ὡς ἄρα τὸ τῆς οὐσίας ἄτομον, ἄτομόν ἐστι διὰ τῆς ποσότητος· ὅθεν τοῦ εἶναί τι ἓν ἀριθμῷ αἴτιόν ἐστι τὸ τοιαύτην ἔχειν ποσότητα ἥτις οὐκ ἂν εὑρεθείη ἐν ἄλλῳ· καὶ λόγον τοιοῦτον κομίζουσιν· Δι' οὗ τι διῃρημένον ἐστὶν f. 51 εἰς μέρη τοῦ αὐτοῦ λόγου, | διὰ τούτου ἕκαστον τούτων καθ' αὑτὸ λαμβανόμενόν ἐστιν ἐν ἑαυτῷ ἀδιαίρετον· εἰσὶ δέ τινα διαιρούμενα εἰς μέρη τοῦ αὐτοῦ λόγου διὰ τῆς ποσότητος· ταῦτα ἄρα καὶ ἐν ἑαυτοῖς εἰσιν ἀδιαίρετα, καὶ ἓν ἀριθμῷ τῇ ποσότητι. Ἡ μείζων σαφής ἐστιν· τὸ γὰρ εἶναι ἀδιαίρετον οὐδὲν προστίθησι πραγματικὸν τῷ εἶναι διαιρετόν, ἀλλὰ στέρησιν μόνον, ὥσπερ τὸ ἕν, ὃ σημαίνει τὸ ἀδιαίρετον ὄν, οὐδὲν πραγματικὸν τῷ ὄντι προστίθησιν, ἀλλὰ μόνον στέρησιν, αὐτὴν δηλονότι τὴν ἀδιαιρεσίαν, ὡς οὕτως εἰπεῖν, διότι τὸ ἓν οὐδὲν ἕτερον δηλοῖ ἢ ὂν ἀδιαίρετον· κἀντεῦθεν ἐστίν, ὅτι δι' οὗ τι ἔχει τὸ εἶναι διαιρετόν, διὰ τούτου καὶ τὸ ἀδιαίρετον εἶναι ἔχει. Ὡσαύτως καὶ ἡ ἐλάττων πέφυκε δήλη· τὰ γὰρ τῆς οὐσίας μέρη διῄρηνται τῇ ποσότητι, ὡς δῆλον ἐστὶν ἐκ τοῦ τῆς ποσότητος ὁρισμοῦ· ταῦτα δὲ τὰ τῆς οὐσίας μέρη ἄτομα εἰσίν· τὰ τῆς οὐσίας ἄτομα ἄρα ἐν ἑαυτοῖς εἰσιν ἀδιαίρετα καὶ ἄλλων διακεκριμένα τῇ ποσότητι.

Καὶ βεβαιοῦσι τὸν λόγον οὕτως· τὸ πρώτως τοιόνδε αἴτιόν ἐστι τοῦ τὰ ἄλλα πάντα τοιάδε εἶναι, οἷον τὸ πρώτως θερμὸν πᾶσι τοῖς ἄλλοις τοῦ θερμοῖς εἶναι γίνεται αἴτιον· ἀλλ' ἡ ποσότης ἐστὶ τὸ πρώτως διαιρετὸν εἰς μέρη τοῦ αὐτοῦ λόγου, ἢ τοὐλάχιστον ᾧ διαιρετόν τί ἐστιν εἰς μέρη τοῦ αὐτοῦ λόγου· τὰ δὲ ἄτομα τῆς οὐσίας μέρη εἰσὶ τὸν αὐτὸν ἔχοντα λόγον· οὐ γὰρ διαφέρουσιν εἴδει ταῦτα· ἄρα διῃρημένα εἰσὶν ἀλλήλων ἀριθμῷ διὰ τῆς ποσότητος. Ἀλλὰ δι' οὗ τι ἔχει τὸ διῃρῆσθαι ἀπ' ἄλλου, διὰ τούτου ἐν ἑαυτῷ ἐστιν ἀδιαίρετον καὶ σεσημασμένον, διότι τὸ ἀδιαίρετον εἶναι οὐδὲν πραγματικὸν προστίθησι τῷ εἶναι διῃρημένον, ὡς πρότερον εἴρηται. Οὐ δεῖ δέ, φασί, θορυβεῖσθαι τινὰ διὰ τὸ τὴν ποσότητα εἶναι διαιρετήν, ἢ διὰ ταύτης εἶναί τι διαιρετόν, οἰόμενον ἀδύνατον εἶναι τὴν αὐτὴν ποσότητα αἰτίαν τε τοῦ διῃρῆσθαι καὶ τοῦ μὴ διῃρῆσθαι τυγχάνειν τινί, ὡς δὴ ἀντικειμένων γε ὄντων· ἡ γὰρ ποσότης παντὸς ἀτόμου διαιρετὴ μέν ἐστιν ἀληθῶς, οὐ μέντοι γε εἰς πλείω μέρη τοῦ αὐτοῦ εἴδους μετέχοντα λογικοῦ, ἀλλ' εἰς πλείω μέρη τοῦ αὐτοῦ εἴδους φυσικοῦ· τὸ δὲ ἄτομον τῆς οὐσίας ἀδιαίρετον καὶ ἓν ἀριθμῷ φαμεν εἶναι, οὐχ ὡς μὴ δυνάμενον φυσικῶς διαιρεῖσθαι· διαιρεῖσθαι γὰρ οὕτω δύναται εἰς πόδας καὶ χεῖρας καὶ κεφαλήν, εἰ καὶ μηδ' οὕτω δύναται διαιρεῖσθαι καθάπαξ ὁμοειδῶς· f. 51v οὐ γὰρ ἥ γε φύσις τοῦ Σωκράτους ἐν ἑκάστῳ τῶν μερῶν | σῴζεται τούτων,

28 *διῃρημένῳ* AS, corrigé en *διῃρημένον* dans L

Ε.Υ.Δ της Β.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὥσπερ τὸ τοῦ ξύλου μέρος ξύλον ἐστί, καὶ τὸ τοῦ ὕδατος ὕδωρ, ἀλλὰ μᾶλλον ἄτομον λέγεται καὶ ἀδιαίρετον, ὅτι οὐ δύναται διαιρεῖσθαι εἰς δύο ἄτομα τοῦ αὐτοῦ λόγου. Τοῦτο δὲ σαφές ἐστιν· οὐ γὰρ ὅ γε Σωκράτης δύναται διαιρεθῆναι εἰς δύο, ὧν ἑκάτερον ἔσται Σωκράτης.

Ταῦτα μὲν ἐκεῖνοι λέγουσιν· δοκεῖ δὲ συνᾴδειν αὐτοὺς τῷ Θωμᾷ· αὐτοὶ μὲν γὰρ οὐκ ἂν ἀρνήσαιντο τὴν ποσότητα ἀρχὴν εἶναι τῆς ἀτομότητος ὑπαρκτικῶς, οὐχ ᾗ ἐστιν ἐν ἑαυτῇ, ἀλλ᾽ ᾗ ἐστιν ἐν τῇ ὕλῃ, ὥστε τὴν ποσότητα μετὰ τῆς ὕλης φαῖεν ἂν εἶναι τὴν αἰτίαν τῆς ἀτομότητος. Τοῦτο δὲ καὶ Θωμᾷ δοκεῖ, φάσκοντι τὴν σεσημασμένην ὕλην αἰτίαν τῆς ἀτομότητος εἶναι, τὴν ὕλην δηλαδὴ μετὰ τῆς ποσότητος. Εἰ δὲ καὶ ἐκ τοῦ λόγου τῆς ποσότητός ἐστιν ἡ διαίρεσις καὶ διάκρισις, καὶ διὰ τοῦτο βέλτιόν ἐστι λέγειν τὴν ποσότητα μετὰ τῆς ὕλης διακρίνειν τὰ ἄτομα, ἀλλ᾽ ἐπειδὴ διὰ τὴν ὕλην ἡ ποσότης μᾶλλον ἐστί, βέλτιόν ἐστι λέγειν, ὅτι τῆς ἀτομικῆς διακρίσεως ἡ σεσημασμένη ὕλη αἰτία ἐστίν, ὥσθ᾽ ἑκάτερον λέγειν ἀληθές ἐστι πρὸς ἄλλην καὶ ἄλλην ἀπόβλεψιν. Ὁποτέρως δ᾽ ἂν οἰκειότερον λέγοιτο, ἐξέστω μετὰ σχολῆς τῷ βουλομένῳ σκοπεῖν.

*Θεωρηθέντος τοίνυν τοῦ τί σημαίνοιτ᾽ ἄν.* — Δείξας ὁ διδάσκαλος οὗτος τίς ἐστιν ἡ τῶν συνθέτων πραγμάτων οὐσία, νῦν βούλεται διδάσκειν πῶς ποτε ἔχει ἡ οὐσία ἐν τῷ τὰς λογικὰς ἐπινοίας, γένος δηλονότι καὶ εἶδος καὶ διαφοράν, ταύτῃ ἀποδίδοσθαι. Καὶ πρῶτον μὲν δείκνυσι τίσιν οὐ δυνατόν ἐστιν ἀποδίδοσθαι τὰς λογικὰς ταύτας ἐπινοίας· δεύτερον, διασαφοῖ τίσιν ἀποδίδοσθαι δύνανται· τρίτον, ὡς ἐν ἐπιλόγῳ πόρισμα τίθησιν ἐκ τῶν εἰρημένων συμβαῖνον. Περὶ δὲ τὸ πρῶτον αὖθις οὕτω προχωρεῖ· πρῶτον μὲν ἀφίστησι τῶν ἐπινοιῶν τὰ ὄντα ἐξ ἀφαιρέσεως ἐν τῷ τῆς οὐσίας γένει, δηλονότι τὴν ἀνθρωπότητα καὶ ζῳότητα καὶ λογικότητα· δεύτερον, χωρίζει τῶν λογικῶν ἐπινοιῶν καὶ τὰς παρὰ Πλάτωνι ἰδέας, ἐπειδὰν λέγῃ· *Ὡσαύτως δὲ ἀδύνατον λέγεσθαι.* Πρὸς μὲν οὖν τὸ πρῶτον τοιούτῳ κέχρηται λόγῳ· Ὧτινι ἁρμόττει ὁ λόγος τοῦ γένους, τοῦ εἴδους καὶ τῆς διαφορᾶς, τοῦτο δεῖ κατηγορεῖσθαι τῶν ὑπ᾽ αὐτὸ περιεχομένων· ἀλλὰ τὸ τῆς ἀνθρωπότητος ὄνομα οὐ δύναται κατηγορεῖσθαι κατὰ τῶν ἀτόμων, οὐδ᾽ ἡ ζῳότης κατὰ τῶν εἰδῶν, οὐδέ γε ἡ λογικότης κατὰ τῶν ἀτόμων ἢ τῶν εἰδῶν· τοῖς τοιούτοις ἄρα ὀνόμασιν οὐχ ἁρμόττει | ὁ λόγος τῶν εἰρημένων ἐπινοιῶν. Ἡ μείζων ἐστὶ φανερά· ἐκ γὰρ τοῦ f. 52 λόγου τῶν καθόλου ἐστὶ τὸ κατηγορεῖσθαι κατὰ τῶν ὑπ᾽ αὐτά. Ἡ δὲ ἐλάττων ἀποδείκνυται ἐκ τοῦ πάντα μὲν ταῦτα σημαίνειν τὴν οὐσίαν τῷ τρόπῳ τοῦ μέρους, τὸ δὲ πραγματικὸν μέρος, ὡς εἴρηται, μὴ δύνασθαι τοῦ ἰδίου ὅλου κατηγορεῖσθαι. Τοῦ λόγου τούτου τὴν μείζω μόνον τέθεικεν

17 *Θεωρηθέντος τοίνυν*: c. IV, 1, p. 163, 1 27 *Ὡσαύτως δὲ ἀδύνατον*: c. IV, 1, p. 163, 27

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ διδάσκαλος ἐν τῷ γράμματι καὶ τὴν ἀπόδειξιν τῆς ἐλάττονος. Βεβαιοῖ δὲ τὸν λόγον εὐθὺς καὶ τῷ τοῦ Ἀβιγκένου ἀξιώματι, λέγοντος ὡς τὰ τοιαῦτα, δηλονότι τὰ ἐξ ἀφαιρέσεως, ἀρχαί εἰσι τῶν ἐπινοιῶν, οὐκ αὐταὶ αἱ ἐπίνοιαι, οἷον ἡ λογικότης οὐκ ἔστι διαφορά, ἀλλ' ἀρχὴ διαφορᾶς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

## LIV.

νδ'. Ὅπως ἡ λογικότης οὐκ ἔστι διαφορά, ἀλλὰ τὸ λογικόν.

Καὶ τοῦτο καλῶς Ἀβιγκένας λέγειν δοκεῖ· ἡ γὰρ διαφορὰ τὸ ὅλον σημαίνει, τό τε εἰδικὸν καὶ τὸ ὑλικὸν δηλονότι, εἰ καὶ τὸ μὲν εἰδικὸν διωρισμένως σημαίνει, ἀδιορίστως δέ γε τὸ ὑλικόν. Οὕτω τοίνυν ἔχει τὸ λογικόν, φέρε εἰπεῖν· ἀλλ' ἡ λογικότης τὸ μέρος σημαίνει, δηλονότι τὸ εἰδικόν, ἀποκλειομένου τοῦ ὑλικοῦ, καὶ διὰ τοῦτο οὐ δύναται εἶναι ὅλον. Ἀλλ' ἐν δυσί τισι τὸ πρῶτον καὶ ἀρχικὸν ἀρχὴ λέγεται εἶναι, καὶ ἐπειδὴ ἡ λογικότης σημαίνει τὸ πρῶτον καὶ ἀρχοειδές, δηλονότι τὸ εἰδικόν, ἀποκλειομένου τοῦ δευτέρου καὶ ἑπομένου, δηλονότι τῶν ἀτομούντων, ὅπερ ἐστὶ τὸ ὑλικόν, διὰ τοῦτο λέγεται εἶναι ἀρχὴ τῆς διαφορᾶς. Τὸ δ' αὐτὸ δεῖ νοεῖν καὶ περὶ τῆς ἀνθρωπότητος καὶ ζῳότητος.

## LV.

με'. Κατὰ τῶν Πλάτωνος ἰδεῶν.

Εἶτα τὰς ἰδέας ἐκβάλλει τοῦ Πλάτωνος, ὡς μηδ' αὐταῖς τῶν λογικῶν ἐπινοιῶν ἀποδίδοσθαι δυναμένων. Ὡσαύτως γάρ, φησίν, ἀδύνατόν ἐστι λέγεσθαι τὸν λόγον τοῦ γένους, ἢ τοῦ εἴδους, ἢ τῆς διαφορᾶς, ἁρμόττειν τῇ οὐσίᾳ, καθό ἐστι πρᾶγμά τι ἔξω τῶν καθ' ἕκαστα ὑφεστώς, ὡς ἐτίθουν οἱ περὶ Πλάτωνα· καὶ τοιόνδε λόγον ἐπάγει· Ὥποτε ἡ λογικὴ ἐπίνοια ἀποδίδοται, τοῦτο δεῖ κατηγορεῖσθαι τῶν ὑπ' αὐτό· ἀλλ' αἱ ἰδέαι οὐ δύνανται κατὰ τῶν καθ' ἕκαστα λέγεσθαι· ἄρα καὶ τὰ ἑξῆς. Ἡ μείζων σαφής ἐστιν· ἡ δὲ ἀπόδειξις τῆς ἐλάττονος αὕτη· τὸ κεχωρισμένον ἔργῳ τοῦ πράγματος ἀδύνατόν ἐστιν οὐσιωδῶς κατηγορεῖσθαι κατὰ τοῦ πράγματος· ἀλλ' αἱ ἰδέαι, κατὰ τὸν Πλάτωνα, πραγματικῶς ἦσαν κεχωρισμέναι τῶν κάτω τούτων καὶ αἰσθητῶν· ὥστε αἱ ἰδέαι οὐ δύνανται κατ' αὐτῶν λέγεσθαι. Ἀλλ' ἐπειδὴ δυνατὸν ἦν οἰηθῆναι τινὰ τὰς ἰδέας ἐκείνας χορηγεῖν τι πρὸς τὴν γνῶσιν τῶν μερικῶν, ἀποσκευάζεται καὶ ταύτην τὴν οἴησιν,
f. 52v καὶ φησὶ μὴ εἶναι τοῦτ' ἀληθές· | οὐκ ἀποδείκνυσι δέ, ἀλλὰ μόνον συμπερασματικῶς ἀποφαίνεται τὴν ἀλήθειαν.

Καταλείπεται τοίνυν λέγειν τὸν τοῦ γένους καὶ εἴδους λόγον προσήκειν τῇ οὐσίᾳ καθὸ σημαίνεται τῷ τοῦ ὅλου τρόπῳ, οἷον τῷ τοῦ ἀνθρώπου ὀνόματι καὶ τοῦ ζῴου καὶ τοῦ λογικοῦ, καθὸ συνεπτυγμένως τε καὶ ἀδιακρίτως ὅλον περιέχει τὸ ἐν τῷ ἀτόμῳ. Ἡ μὲν οὖν πρόθεσις τοῦ διδασκάλου καὶ ἡ λέξις ἐν τούτῳ τῷ μέρει σαφὴς ἦν.

## LVI.

νς'. Διατί ᾤετο Πλάτων ἀναγκαῖον εἶναι τὸ τιθέναι ἰδέας, καὶ ὅτι οὐκ ἔστιν ἀναγκαῖον.

Ἐπισημήνασθαι δὲ δεῖ περὶ τῶν ἰδεῶν ἐν βραχεῖ, ὅτι διχόθεν ἐκεκίνητο Πλάτων τὰς ἰδέας τιθέναι· ἔνθεν μὲν ἐκ τοῦ μέρους τῆς γνώσεως· ᾔδει γάρ, ὅπερ καὶ ἀληθές ἐστι, τὰς ἐπιστήμας περὶ τῶν ἀφθάρτων εἶναι καὶ ἀναγκαίων, ἅτε περὶ τῶν καθόλου μόνον ὑπαρχούσας, ἃ εἰσιν ἄφθαρτα· ὁμοίως καὶ τὰς ἀποδείξεις, δι' ὧν αἱ ἐπιστῆμαι ἡμῖν παραγίνονται, περὶ τῶν ἀϊδίων οὔσας ἐγίνωσκεν· ὡς δὲ καὶ τοὺς ὁρισμούς, οἳ μέσα τῶν ἀποδείξεων γίνονται, ὡς ἐν τῷ πρώτῳ τῶν ὑστέρων πάνυ καλῶς ταῦτα λέγεται. Καὶ διότι πάντα τὰ κάτω ταῦτα καὶ πρὸς ἡμῖν φθαρτὰ ἑώρα καὶ μερικά, ἠναγκάσθη τὰς ἰδέας τιθέναι ἀϊδίους οὔσας καὶ ὡσαύτως ἐχούσας ἀεὶ καὶ καθόλου, ὥστ' εἶναι περὶ αὐτῶν τὰς ἐπιστήμας καὶ τὰς ἀποδείξεις καὶ τοὺς ὁρισμούς. Αὕτη δὲ ἡ ἀνάγκη οὐδέν ἐστιν. Συγχωροῦμεν γὰρ πάντα ταῦτα, περὶ τῶν ἀϊδίων εἶναι καὶ ἀναγκαίων, ἀλλ' οὐ διὰ τοῦτ' ἀνάγκη καὶ κεχωρισμένα τιθέναι κατὰ τὸ πρᾶγμα, ἀλλ' ἀρκεῖ ταῦτα καὶ κατὰ τὴν θεωρίαν εἶναι τοῦ λόγου κεχωρισμένα. Δεύτερον δέ, πρὸς ταύτην ἤχθη Πλάτων τὴν θέσιν ἐκ τῶν ἐνεργειῶν, καὶ μάλιστα τῶν ἐκ σήψεως γινομένων· ἐπειδὴ γὰρ ἐν ταῖς τοιαύταις γενέσεσιν οὐχ ὁρῶμεν μερικόν τι ποιοῦν, δεῖ τιθέναι τὰς ἰδέας, ἐξ ὧν τὰ τούτων εἴδη τῶν πραγμάτων ἐντυποῦσθαι μέλλοι τοῖς πράγμασιν. Ἀλλ' οὐδὲ τοῦτ' ἀναγκάζει· ἀρκεῖ γὰρ τὸ καθόλου ποιοῦν, ὅπερ ἐστὶν ὁ οὐρανός, μετὰ τοῦ διατιθέναι πως τὴν ὕλην, τὰς τούτων γενέσεις ποιεῖν· ἄϋλοι δὲ οὖσαι αἱ ἰδέαι, πῶς ἂν δύναιντο τὰ ἐν τῇ ὕλῃ εἴδη προάγειν;

Ἡ δὲ φύσις ἢ ἡ οὐσία οὕτω λαμβανομένη. — Ἀποστήσας τῶν λογικῶν ἐπινοιῶν τά τε ἐξ ἀφαιρέσεως καὶ τὰς παρὰ Πλάτωνι ἰδέας, νῦν ὅπως ἂν ἀποδιδοῖντο τῇ οὐσίᾳ αἱ ἐπίνοιαι φανεροῖ. Καὶ πρῶτον μὲν δύο τίθησιν αὐτῆς διακρίσεις· δεύτερον, ἀπείργει τινὰ μέρη τῶν διαιρέσεων, οἷς ἀδύνατον τὰς τοιαύτας δίδοσθαι ἐπινοίας· τρίτον, φανεροῖ καὶ συμπεραίνει, τὴν αὐτῷ δοκοῦσαν περὶ τῶν προκειμένων ἀλήθειαν.

## LVII.

νζ'. Ὅπως ἡ φύσις διχῶς δύναται θεωρεῖσθαι. f. 53

Τιθεὶς οὖν τὴν προτέραν τῶν διακρίσεων, ἡ φύσις ἢ ἡ οὐσία, φησίν, τῷ τοῦ ὅλου τρόπῳ λαμβανομένη, ὡς προσεχῶς συνεπεράνθη, διχῶς δύναται θεωρεῖσθαι· ἑνὶ μὲν τρόπῳ κατὰ τὸν ἴδιον λόγον αὐτῆς, καὶ τοῦτο φησὶν ἀπολελυμένην εἶναι θεωρίαν αὐτῆς· καὶ τούτῳ τῷ τρόπῳ λαμβανομένης οὐκ ἔστιν ἀληθὲς λέγεσθαι κατ' αὐτῆς εἰ μὴ τὰ προσήκοντα αὐτῇ,

---

3 ἔστιν ὅλως S 9 μέσοι L 25 Ἡ δὲ φύσις ἢ ἡ οὐσία: c. IV, 1, p. 163, 25

ᾗ τοιαύτη ἐστίν, καὶ εἴ τι ἄλλο ἀποδιδοίη τις αὐτῇ, ψευδῆ ποιήσει ἀπόδοσιν. Καὶ φανεροῖ τοῦτο παραδείγματι· τῷ γὰρ ἀνθρώπῳ, ᾗ ἀνθρώπῳ, ζῷον ἁρμόττει καὶ λογικόν, καὶ εἴ τι ἄλλο ἐν τῷ ὁρισμῷ αὐτοῦ τίθεται· λευκὸν δὲ καὶ μέλαν καὶ εἴ τι τοιοῦτον συμβεβηκός, μὴ ὂν ἐκ τοῦ λόγου τῆς ἀνθρωπότητος, οὐχ ἁρμόττει αὐτῷ, ᾗ ἄνθρωπός ἐστιν. Καὶ παραδείγματι σαφῆ ποιεῖται τὸν λόγον· εἰ γάρ τις ζητοίη, φησί, περὶ ταύτης τῆς φύσεως οὕτω θεωρουμένης, πότερον μία ἐστὶν ἢ πλείους, οὐδέτερον αὐτῶν δεῖ συγχωρεῖν διὰ τὸ ψεῦδος εἶναι ἑκάτερον· ἑκάτερον γάρ ἐστιν ἔξω τοῦ λόγου καὶ τῆς ἐννοίας τῆς ἀνθρωπότητος, καὶ διὰ τοῦθ' ἑκάτερον δύναται ταύτῃ συμβαίνειν. Καὶ τοῦτ' ἀληθὲς εἶναι δείκνυσιν· εἰ μὲν γὰρ ἦν, φησί, τὸ πλῆθος ἐκ τῆς ἐννοίας τῆς ἀνθρωπότητος, οὐδέποτ' ἂν ἠδύνατο μία λέγεσθαι, ὅτι τὸ ἓν καὶ τὰ πολλὰ ἀντικειμένως ἔχει, καίτοι μία ἐστὶν ὡς ἀληθῶς καθὸ ἐστιν ἐν Σωκράτει. Εἰ δὲ ἡ ἑνότης ἦν ἐκ τῆς ἐννοίας τῆς ἀνθρωπότητος, ἐν ᾧ ἂν εὑρίσκετο ἡ ἀνθρωπότης, ἦν ἂν ἐκεῖ καὶ ἑνότης, καὶ οὕτω μία καὶ ἡ αὐτὴ ἂν ἀνθρωπότης ἁπλῶς Πέτρου καὶ Παύλου, οὐδ' ἂν ἠδύνατο πολλαπλασιάζεσθαι οὐδαμῇ οὐδαμῶς· ταῦτα δὲ πάντα ἄτοπά εἰσι καὶ ἀδύνατα· οὐκ ἄρα τὸ ἓν ἢ τὸ πλῆθός ἐστιν ἐκ τῆς ἐννοίας τῆς ἀνθρωπότητος, καὶ διὰ τοῦτο οὔτε θάτερον τούτων ἀποδίδοσθαι ταύτῃ δεῖ, οὔτ' ἄλλο τι τῶν ἔξω τῆς ἐννοίας ὄντων αὐτῆς· ψεῦδος γάρ τι κἀκεῖθεν ἀκολουθήσει, καθάπερ ἐντεῦθεν.

Ἕτερον δὲ τρόπον ἡ φύσις αὕτη θεωρεῖται, φησίν, καθὸ ἔχει τὸ εἶναι ἔν τινι, ὁποῖον ἂν εἴη τοῦτο, καὶ οὕτω δυνατόν ἐστι λέγεσθαι κατ' αὐτῆς τι κατὰ συμβεβηκὸς τῷ λόγῳ τοῦ ἐν ᾧ ἐστιν, οὐ τῷ γε ἑαυτῆς λόγῳ, ὥσπερ φαμὲν ἄνθρωπον εἶναι λευκὸν διὰ τὸ τὸν Σωκράτην εἶναι λευκόν, ἐν ᾧ ἡ ἀνθρωπότης εὑρίσκεται, εἰ καὶ μηδαμῶς ἁρμόττει τῷ ἀνθρώπῳ ἡ λευκότης, ᾗ ἐστιν ἄνθρωπος. Ταῦτα δὲ πάντα ἄριστά φησιν ὁ διδάσκαλος. Αὐτίκα ἡ διαίρεσις τῆς οὐσίας καὶ τῆς φύσεως ἀληθής ἐστι καὶ ἀναγκαία· τῷ ὄντι γὰρ ἡ φύσις διχῶς δύναται θεωρεῖσθαι· ἕνα μὲν τρόπον,
f. 53v ἀπολελυμένως, καθὸ ἀφαιρεῖ ἀπὸ | παντὸς εἶναι· καὶ αὐτὴ ἡ ἀφαίρεσις οὐκ ἔστι κατὰ τὸ πρᾶγμα, ἀλλὰ κατὰ τὴν θεωρίαν μόνον· πραγματικῶς γὰρ οὐδέποτε ἡ ἀνθρωπότης ἔχει τὸ εἶναι εἰ μὴ ἔν τινι· ἄλλον δὲ τρόπον, καθόσον συγκρίνει τι εἶναι, ὃ πράγματί τε τυγχάνειν καὶ λόγῳ δύναται· ἔργῳ τε γάρ ἐστιν ἀληθὲς τὸ τὴν ἀνθρωπότητα ἀεὶ ἔν τινι εἶναι καὶ δὴ καὶ κατὰ τὸν λόγον· ὁ γὰρ νοῦς οὕτω ταύτης ἀντιλαμβάνεται ὡς ἔχει τὸ εἶναι ἔν τινι.

## LVIII.

### νη'. Ὅπως διαφέρουσι τὰ ἰδίως συμβεβηκότα τῶν κοινῶν.

Καὶ ὃ δὲ εἴρηκεν ὁ διδάσκαλος, λέγεσθαί τι κατὰ τῆς οὐσίας κατὰ συμβεβηκὸς τῷ λόγῳ τοῦ ἐν ᾧ ἐστιν, ἀληθῶς ἅμα καὶ σοφῶς εἴρηκεν·

---

15 ἦν après ἁπλῶς add L

Ε.Υ.Δ τῆς Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τὰ γὰρ ἴδια συμβεβηκότα τῶν κοινῶν διαφέρει προδήλως τῷ τὰ μὲν ἴδια πρώτως καὶ καθ' αὑτὸ τῷ εἴδει προσήκειν, ἑπομένως δὲ καὶ τῷ ἀτόμῳ, ὡς τὸ γελαστικὸν πρώτως μὲν καὶ καθ' αὑτὸ τῷ ἀνθρώπῳ προσήκει, δευτέρως δὲ καὶ Σωκράτει. Τὰ δὲ κοινὰ τὸ ἀνάπαλιν, πρώτως μὲν τοῖς ἀτόμοις, ἑπομένως δὲ καὶ τοῖς εἴδεσιν, ὡς ἡ λευκότης καὶ τὰ τοιαῦτα. Καὶ ταῦτα συμβαίνει σφίσιν ἐντεῦθεν· ὅτι τὰ μὲν ἴδια συμβεβηκότα ἐκ τῶν τοῦ εἴδους ἀρχῶν παράγονται· ἐκ γὰρ τῆς ἑνώσεως τοῦ εἴδους πρὸς τὴν ὕλην τὸ ἴδιον ἀναθρῴσκει πάθος εὐθύς, καὶ διὰ τοῦτο πρώτως καὶ καθ' αὑτὸ τῷ εἴδει τὰ τοιαῦτα τῶν συμβεβηκότων ἀνήκουσιν· ἐφόσον δὲ αἱ τοῦ εἴδους ἀρχαὶ ἐν ἑκάστῳ τῶν ἀτόμων διαφυλάττονται ὥσπερ εἰπεῖν ἀποτεθειμέναι, διὰ τοῦτο δευτέρως καὶ τῷ ἀτόμῳ ταῦτα προσήκουσι· τὰ δὲ κοινὰ συμβεβηκότα ἐκ τῶν ἀρχῶν τοῦ ἀτόμου δημιουργοῦνται· ἀποτελοῦνται γὰρ διαφόρως ἐκ τῆς διαφόρου τῶν στοιχείων μίξεως ἐν αὐτῷ, καὶ διὰ τοῦτο ταῦτα πρώτως μὲν τοῖς ἀτόμοις ἀνήκουσιν· ἅτε δὲ τῶν ἀτομουσῶν ἀρχῶν κἂν τοῖς εἴδεσιν ἀδιακρίτως περιεχομένων, καὶ κατὰ τῶν εἰδῶν ἑπομένως ταῦτα κατηγοροῦνται.

Αὕτη δὲ ἡ φύσις διπλοῦν ἔχει τὸ εἶναι. — Νῦν τίθησιν ἐφεξῆς τὴν δευτέραν διαίρεσιν, θάτερον μέρος τῆς διαιρέσεως ἐκείνης ὑποδιαιρῶν, καὶ φησὶν ὅτι ἡ φύσις αὕτη, ὡς ἔχει τὸ εἶναι ἔν τινι θεωρουμένη, διπλοῦν ἔχει τὸ εἶναι· ἓν μὲν τὸ ἐν τοῖς καθ' ἕκαστα, ἕτερον δὲ τὸ ἐν τῇ ψυχῇ· καὶ καθ' ἑκάτερον εἶναι ἕπονται τῇ ῥηθείσῃ φύσει συβεβηκότα διάφορα κατὰ τὴν τοῦ εἶναι διαφοράν, ὡς μετὰ ταῦτα φανερώτερον ἔσται. Καὶ ἐν αὐτοῖς δὲ τοῖς καθ' ἕκαστα κατὰ τὴν τῶν μερικῶν τούτων διαφορὰν ποικίλον ἔχει τὸ εἶναι, κἂν τῇ ψυχῇ τὸ εἶναι διάφορον αὐτῇ πως πρόσεστι κατὰ τὴν τῶν ψυχῶν διαφοράν· ἀλλ' ὅμως οὐδέν, φησί, τῶν εἶναι τούτων ὀφείλεται τῇ φύσει κατὰ τὸν ἴδιον αὐτῆς λόγον τὸν ἀπολελυμένον· ψεῦδος γάρ ἐστι | τὸ τὴν φύσιν τοῦ ἀνθρώπου ἢ τὴν οὐσίαν, ᾗ τοιαύτη, ἐν τῷ f. 54 μερικῷ τὸ εἶναι ἔχειν οἴεσθαί τε καὶ λέγειν· εἰ γὰρ τὸ ἐν τῷδε τῷ ἀτόμῳ εἶναι προσῆκε τῷ ἀνθρώπῳ ᾗ ἄνθρωπός ἐστι, οὐκ ἄν ποτε ἦν ἐν ἄλλῳ παρὰ τόδε τὸ μερικόν· ὡσαύτως, εἰ τὸ μὴ εἶναι ἐν τῳδὶ τῷ ἀτόμῳ ἥρμοττε τῷ ἀνθρώπῳ ᾗ ἐστιν ἄνθρωπος, οὐδέποτ' ἂν ἦν ἐν αὐτῷ. Ταῦτα δὲ ψευδῆ εἰσι πάντα καὶ ἀδύνατα· ἀληθὲς δέ ἐστι λέγειν τὸν ἄνθρωπον, καθό ἐστιν ἄνθρωπος, οὐκ ἔχειν τὸ εἶναι ἐν τῷδε τῷ ἀτόμῳ ἢ ἄλλῳ, οὐδ' ἐν τῇ ψυχῇ ταύτῃ ἢ ἐκείνῃ. Ὅθεν καλῶς ἐκ τῶν εἰρημένων ὡς ἐν βραχεῖ συμπεραίνεται ὡς ἡ τοῦ ἀνθρώπου φύσις ἀπολελυμένως θεωρουμένη ἀφαιρεῖ ἀπὸ παντὸς εἶναι, οὕτω μέντοι γε ὡς μηδενὸς αὐτῶν ἀποκλήρωσιν γίνεσθαι διὰ τὸ δύνασθαι καὶ ἄμφω ταύτῃ συμβαίνειν. Καὶ αὕτη, φησίν, ἡ φύσις οὕτω θεωρουμένη, ἡ κατὰ τῶν ἀτόμων κατηγορουμένη, πάντων ἐστίν.

---

17 *Αὕτη δὲ ἡ φύσις*: c. IV, 1, p. 164, 3



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LIX.

### νθ'. Πότερον ἡ τοῦ γένους κατηγορία κατὰ τοῦ εἴδους ἐστὶ τοῦ ἀνωτέρου κατὰ τοῦ ὑπ' αὐτό.

Ἐκ τῶν ἐνταῦθα λεγομένων τὸ εἰωθὸς ὑπ' ἐνίων ἐν τῇ λογικῇ ζητεῖσθαι ζήτημα λύεται. Ζητεῖται γὰρ ἡ τοῦ γένους κατηγορία κατὰ τοῦ εἴδους πῶς ποτε ἔχει, πότερον ὡς ἡ τοῦ μείζονος κατὰ τοῦ ἐλάττονος, ἢ τοῦ ἴσου κατὰ τοῦ ἴσου. Καὶ δοκεῖ μὲν εἶναι τὸ πρότερον· τὸ γὰρ κατὰ τοῦ ἀνθρώπου λεγόμενον ζῷον ἢ κατὰ τὸ εἶναι λέγεται μόνον, ὅπερ ἔχει ἐν ἀνθρώπῳ, ἢ κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν ἵππῳ τε καὶ ὄνῳ. Εἰ μὲν οὖν κατὰ τὸν πρότερον τρόπον, οὕτως ὡς ἴσον ἴσου κατηγορεῖται· εἰ δὲ κατὰ τὸν δεύτερον τρόπον λέγοι τις κατηγορεῖσθαι, ἕψεται τὸν ἄνθρωπον εἶναι ἵππον, εἴ γε τὸ ζῷον κατὰ τὸ εἶναι, ὅ ποτε ἐν τῷ ἵππῳ ἔχει, τοῦ ἀνθρώπου κατηγοροῖτο· ἀλλὰ τὸ πρότερον ἀδύνατόν ἐστι· τὸ ἄρα δεύτερον ἀληθές ἐστιν. Ἀλλ' εἰς τοὐναντίον ἐστὶν ὁ Πορφύριος. Ἰστέον οὖν, ὡς ἄλλοι ἄλλως ἀποκρίνονται πρὸς τοῦτο τὸ ζήτημα· οἳ μὲν γάρ φασιν ὅτι τὸ γένος διττῶς δύναται θεωρεῖσθαι, φυσικῶς δηλονότι καὶ λογικῶς· εἰ μὲν δὴ λογικῶς θεωρεῖται, ἐπειδὰν τοῦ εἴδους κατηγορῆται, ὡς μεῖζον κατ' ἐλάττονος λέγεται· κατὰ γὰρ τὸν αὐτὸν λόγον, ὃς ἀνήκει τῷ λογικῷ, τεχνίτῃ δήπου τοῦ λόγου τυγχάνοντι, κατά τε ἀνθρώπου καὶ ἵππου καὶ τῶν ἄλλων ὁμοίως λέγεται· εἰ δὲ φυσικῶς θεωροῖτο, τὴν τοῦ ἴσου παράθεσιν ἔχει μᾶλλον, διότι καθ' ἥν ποτε φύσιν κατηγορεῖται τοῦ ἀνθρώπου, οὐ κατηγορεῖται κατὰ τοῦ ἵππου, ἀλλὰ καθ' ἑτέραν. Ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων καὶ ἡ τοιαύτη θεωρία τῷ φυσικῷ πρέπει, ὅς ἐστι τεχνίτης πραγματικός.

Ἄλλοι λέγουσι καὶ βέλτιον τῶν προτέρων ὡς, εἰ μὴ ἦν ἡ τοῦ γένους κατηγορία κατὰ τοῦ εἴδους, ὡς ἡ τοῦ μείζονος πρὸς τὸ ἔλαττον, ἀνῄρειτ' ἂν f. 54v ἡ τῶν κατηγοριῶν διακρίσις, ἣν | εἰσάγει Πορφύριος ἐν τῷ περὶ τῶν πέντε κατηγορικῶν. Ἔδει γὰρ εἶναι πᾶσαν κατηγορίαν ἴσου κατ' ἴσου, εἴ γε καὶ ἡ τοῦ γένους κατὰ τοῦ εἴδους, καὶ ἡ τοῦ εἴδους κατὰ τοῦ ἀτόμου· πρὸς γὰρ τὴν παροῦσαν χρείαν οὐδὲν ἀλλήλων διενηνόχασιν· ἴσου κατ' ἴσου ἦν. Τούτου δὲ λόγος ἐστίν, ὅτι ἡ φύσις αὕτη, δηλονότι τὸ ζῷον, κατὰ τὸν διδάσκαλον τοῦτον τίθεται κατὰ τὴν ἀπολελυμένην αὐτοῦ θεωρίαν ὡς ἀφαιροῦν ἀπὸ παντὸς εἶναι, εἴτε τοῦ ἐν ἀνθρώπῳ, εἴτε τοῦ ἐν ἵππῳ, εἴτε ἐν ὁτῳοῦν τῶν ἄλλων. Καθόσον μέντοι τούτων ὁτιοῦν δύναται προσήκειν αὐτῷ, καὶ τούτῳ τῷ τρόπῳ μᾶλλον δοκεῖ εἶναι κατηγορία μείζονος κατ' ἐλάττονος ἡ τοῦ γένους κατὰ τοῦ εἴδους ἢ εἰ κατηγορεῖτο κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν ἀνθρώπῳ καὶ ἵππῳ καὶ τοῖς ἄλλοις ἅπασιν εἴδεσιν· καὶ πρὸς ἐκείνην τὴν θέσιν ἠκολούθησε τὸ ἄτοπον, οὐ μέντοι πρὸς ταύτην.

---

17 *μείζονος* L

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Λύεται δὲ οὕτως ῥᾳδίως καὶ ἡ εἰς τοὐναντίον ἐπιχείρησις· οὐ γὰρ κατηγορεῖται τὸ ζῷον κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν ἀνθρώπῳ μόνον, ἀλλὰ κατὰ τὸ εἶναι, ὅπερ ἔχει ἐν ἀνθρώπῳ καὶ ἵππῳ καὶ τοῖς ἄλλοις εἴδεσιν, κατὰ τὴν ἀπολελυμένην μέντοι γε θεωρίαν αὐτοῦ. Εἰ γοῦν καὶ περὶ τοῦ ἀνθρώπου ἐν τῇ πρὸς τὰ ἄτομα τάξει τοῦτό φησιν ὁ διδάσκαλος, ἀλλ' ἡ αὐτὴ γένοιτ' ἂν κρίσις καὶ περὶ τῆς τοῦ ζῴου φύσεως ἐν τῇ πρὸς τὰ εἴδη τοῦ ζῴου τάξει, ὡς ἐκ τῶν εἰρημένων γέγονε δῆλον.

Οὐ μέντοι γε δυνατὸν λέγεσθαι. — Νῦν ἀφίστησι τὰ δύο μέρη τῶν προεκτεθεισῶν διαιρέσεων ἀπὸ τῆς τῶν ἐπινοιῶν ἀποδόσεως· καὶ πρῶτον μέν φησιν, ὅτι τῇ φύσει ἢ τῇ οὐσίᾳ καθ' αὑτήν τε καὶ ἀπολελυμένως θεωρουμένῃ ἀδύνατόν ἐστι τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι, καὶ τοῦτο δείκνυσι λόγῳ· ᾧ γάρ, φησίν, οὐκ ἔστιν ἐκ τοῦ λόγου αὐτοῦ ἡ ἑνότης καὶ ἡ κοινότης, οὐκ ἔστι δυνατὸν ἀποδίδοσθαι τούτῳ λογικήν τινα ἐπίνοιαν· ἐκ δὲ τοῦ λόγου τῆς φύσεως οὕτω λαμβανομένης οὐκ ἔστιν ἡ ἑνότης ἢ ἡ κοινότης· οὐκ ἄρα δυνατόν ἐστι τῇ τοιαύτῃ φύσει λογικήν τινα ἐπίνοιαν ἀποδίδοσθαι. Ἡ μείζων σαφής ἐστιν· ἐκ γὰρ τοῦ λόγου τοῦ καθόλου πέφυκε τὸ ἓν εἶναι καθ' ἑαυτὸ καὶ κοινὸν πλείοσιν. Ἡ δὲ ἐλάττων δείκνυται· εἰ γὰρ ἦν ἐκ τῆς ἐννοίας τῆς ἀνθρωπότητος ἡ κοινότης, εὑρίσκετ' ἂν ἐν παντὶ ἡ ἀνθρωπότης καὶ ἡ κοινότης ἅμα τῷ αὐτῷ, καὶ ᾧ προσῆν ἂν ἀνθρωπότης, τούτῳ καὶ κοινότης ἂν δήπου προσῆν· ἀλλὰ τοῦτο ψεῦδός ἐστι καὶ ἀδύνατον· εὑρίσκεται γὰρ ἐν Πέτρῳ ἡ ἀνθρωπότης, ἡ μέντοι κοινότης οὐδαμῶς ἐστιν ἐν αὐτῷ· πᾶν γὰρ τὸ ἐν αὐτῷ ἄτομόν ἐστιν. Ὡς δὲ καὶ εἴπερ ἡ ἑνότης ἦν ἐκ τοῦ λόγου τῆς ἀνθρωπότητος, ἐν ᾧπερ ἡ ἀνθρωπότης εὑρίσκεται, ἔδει γ' ἂν εὑρί|σκεσθαι καὶ τὴν ἑνότητα f. 55 ἐν αὐτῷ· τοῦτο δέ ἐστι ψεῦδος· ἡ γὰρ ἀνθρωπότης εὑρίσκεταί ποτε ἐν Σωκράτει καὶ Πλάτωνι, λόγου χάριν, ἀλλ' ἡ ἑνότης ἐν αὐτοῖς οὐχ εὑρίσκεται, τὸ πλῆθος μὲν οὖν.

## LX.

### ξ'. Ὅπως τὸ καθόλου ἕν ἐστιν ἐν πολλοῖς.

Ἰστέον γὰρ ὅτι, κατὰ Ἀριστοτέλη ἐν πρώτῳ τῶν ὑστέρων, τὸ καθόλου ἕν ἐστιν ἐν πολλοῖς καὶ κατὰ πολλῶν· καὶ διότι ἕν ἐστι τὸ καθόλου, διὰ τοῦτ' εὐλόγως λέγεται ἐκ τοῦ λόγου αὐτοῦ τὴν ἑνότητα εἶναι· καὶ διότι ἐν πολλοῖς ἐστι καὶ κατὰ πολλῶν, διὰ τοῦτ' αὖθις ἡ κοινότης ἐστὶν ἐκ τοῦ λόγου αὐτοῦ. Λέγεται δὲ ἐν πολλοῖς καὶ κατὰ πολλῶν εἶναι τὸ καθόλου, διότι διχῇ τὸ καθόλου δύναται θεωρεῖσθαι· ὅσον τε πρὸς τὸ εἶναι, καὶ οὕτως ἐν πολλοῖς εἶναι λέγεται· καὶ ὅσον πρὸς τὸ κατηγορεῖσθαι ἢ θεωρεῖσθαι, καὶ οὕτω κατὰ πολλῶν λέγεται, ὡς κατὰ πλειόνων κατηγορούμενον.

---

8 *Οὐ μέντοι γε δύνατον*: c. IV, 2, p. 164, 20    30 *τὸ καθόλου* om S



ΙΩΑΝΝΙΝΑ 2006

## LXI.

### ξα'. Εἰ ἐκ τοῦ λόγου τοῦ καθόλου ἐστὶ τὸ εἶναι ἐν πολλοῖς καὶ κατὰ πολλῶν· ἐν ᾧ καὶ περὶ τοῦ τί διαφέρει δύναμις καὶ ἐπιτηδειότης.

Ἐπεὶ δέ εἰσιν ἐν τῷ κόσμῳ εἴδη τινὰ ἐν ἑνί τε ὄντα καὶ καθ' ἑνὸς μόνον λεγόμενα, οἷον Γαβριήλ, φοῖνιξ, ἥλιος, καὶ ἄλλα δὲ τοιαῦτα, καὶ ἐκ τούτων ὁ τοῦ καθόλου λόγος διασαλεύεσθαι δοκεῖ, ὅς ἐστι τὸ ἓν ἐν πολλοῖς εἶναι καὶ κατὰ πολλῶν, δεῖ καὶ περὶ τούτων διὰ βραχέων εἰπεῖν. Ὁ μὲν δὴ τοῦ καθόλου λόγος ὀρθῶς ἐστιν ἀποδεδομένος αὐτῷ, τὸ εἶναι ἐν πολλοῖς καὶ κατὰ πολλῶν· τὸ δὲ εἶναί τινα εἴδη μοναδικὰ οὐδέν τι τῷ τοῦ καθόλου λόγῳ προσίσταται· καὶ αὐτῶν γὰρ ἑκάστου τὸ εἶδος καθόλου τί ἐστι καθ' αὑτό, εἰ καὶ ἐν μοναδικῇ ὕλῃ προσείληπται. Ἔχει γὰρ οὕτω τὸ καθόλου· ἔστι μέν ποτε ἐν πλείοσιν ἐνεργείᾳ οὖσιν, ὡς ἄνθρωπος, ἵππος καὶ τὰ τοιάδε· ἔστι δέ ποτε ἐν πολλοῖς καὶ κατὰ πολλῶν οὐκ ἐνεργείᾳ, ἀλλὰ τινὶ δυνάμει, τουτέστιν ἐκ διαδοχῆς τινος, ὥσπερ ὁ φοῖνιξ· ἔστι δέ τι καθόλου ἐν πλείοσί τε ὂν καὶ κατὰ πλειόνων λεγόμενον οὔτ' ἐνεργείᾳ οὔτε δυνάμει καὶ εἰς ἐνέργειάν ποτε προϊούσῃ, ἵνα μὴ μάτην ᾖ, καὶ οὐδ' ἅμα, οὔτ' ἐκ διαδοχῆς, ἀλλ' ᾗ θεωρεῖται μόνον καθ' αὑτό, ἄνευ τῆς πρὸς τὴν ὑποβεβλημένην ὕλην ἑνώσεως, ὡς ἥλιος ἔχει καὶ ἄγγελος· τό τε γὰρ τοῦ ἡλίου εἶδος, εἰ καθ' αὑτὸ θεωροῖτο, οὐκ ἔχει τὸν τοῦ καθόλου λόγον αὐτῷ προσιστάμενον· τὸ ἐφ' αὑτῷ μὲν οὖν δύναται πλείοσιν εἶναι κοινὸν καὶ ὑπὸ πλειόνων μεταλαμβάνεσθαι, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ ἂν πλείονος δραστηριότητος ᾖ· τὸ δὲ μὴ εἶναι ὑπ' αὐτὸ πλείω ἄτομα, ὡς ἂν οὑτωσὶ φανερῶς ἐν αὐτῷ ὁ τοῦ καθόλου διαφαίνοιτο λόγος, οὐ διὰ τὴν αὐτοῦ τοῦ εἴδους ἔλλειψιν γίνεται, ἅτε μὴ δυναμένου δηλονότι πλείοσιν ὑποκειμένοις μεταλαμβάνεσθαι, ἀλλ' ἐκ τῆς τῶν δεχομένων ἐστὶν ἐνδείας·
f. 55v | οὐ γὰρ ἔστιν εὑρεῖν τινα ὕλην, ἣ γένοιτ' ἂν τοῦ ἡλιακοῦ εἴδους χωριστική, πλὴν τῆς ὑποβεβλημένης καὶ συνούσης αὐτῷ νῦν τῆσδε. Καὶ τοῦτο συμβαίνει, καθὰ καὶ τῷ Φιλοσόφῳ δοκεῖ, διὰ τὸ τὸν ἥλιον ἐξ ὅλης ἅμα τῆς οἰκείας ὕλης συνίστασθαι, φθάνοντος τοῦ εἴδους αὐτοῦ καὶ κατέχοντος ἅμα πᾶσαν τῷ ὑπερβάλλοντι τῆς δραστηριότητος, ὡς μηδὲν ἂν αὐτῆς ὑπολελεῖφθαι πρὸς ὑποδοχὴν τοῦ αὐτοῦ εἴδους ὁμοίως. Ταὐτὸν δέ τι πως καὶ περὶ τοῦ ἀγγελικοῦ δεῖ νοεῖν εἴδους. Ἔστι μὲν γὰρ τὸ ἐφ' αὑτῷ πλείοσι κοινωνητὸν καὶ τοῦτο, ἀλλὰ διὰ τὸ τὴν τοῦ εἴδους τελειότητα πᾶσαν ἐν ἑνὶ ἀτόμῳ περιλαμβάνεσθαι, οὔτε κοινωνεῖται πλείοσιν, οὔτε κοινωνηθῆναί ποτε δύναται. Καὶ ὅλως οὐκ ἔστιν ἐκ τοῦ λόγου τοῦ καθόλου τὸ πλείοσι κοινωνεῖσθαι, ἀλλὰ τὸ πλείοσιν εἶναι κοινωνητόν, τουτέστιν ἐνυπάρχειν αὐτῷ τινα πρὸς τὸ μεταλαμβάνεσθαι ὑπὸ πλειόνων ἐπιτηδειότητα, ἣν ἔστι μέν ποτε καὶ εἰς ἔργον ἐκβαίνειν. Ἐφ' ὧν δὲ ἀεὶ μόνον ἐπιτηδειότης ἐστίν, ὡς ἐπί γε τῶν μοναδικῶν, ἡ μὲν ἐπιτηδειότης αὕτη,

ΙΩΑΝΝΙΝΑ 2006

ῥοπή τις οὖσα τοῦ εἴδους πρὸς τὴν τοιαύτην μετάληψιν, ποιεῖ τοῦτ' εἶναι καθόλου, κἂν μήποτε εἰς ἐνέργειαν προαχθῇ· οὐ γὰρ τέτακται πρὸς τὴν ἐνέργειαν ἡ τοιαύτη ἐπιτηδειότης, ῥοπή τις οὖσα τοῦ εἴδους, ὥσπερ ἡ δύναμις, ἥτις ἐκ τοῦ μέρους ἐστὶ τῆς ὕλης. Τὸ δὲ μηδέποτε ὑπὸ πλειόνων μεταλαμβάνεσθαι ποιεῖ τοῦτο μοναδικὸν εἶδος εἶναι καὶ ἄτομον, οὐδ' ἐκ τοῦ λόγου τοῦ εἴδους ἐστὶν ἁπλῶς ἢ τὸ πλείω μέρη ἔχειν, ἢ τὸ ὑπὸ πλειόνων ἀτόμων μεταλαμβάνεσθαι. Ἐκ μὲν γὰρ τοῦ λόγου τοῦ συνεχοῦς ὅλου τὸ τῶν μερῶν πλῆθος ἐστίν· τῷ δὲ καθόλου ὅλῳ ἀπόχρη πρὸς τὸν τῆς ὁλότητος λόγον, ἡ πρὸς τὸ γενέσθαι ἄν ποτε καὶ τοιοῦτον ὅλον, εἴπερ οἷόν τε ἦν, ἐπιτηδειότης, τό γε ἐφ' ἑαυτῷ. Ὡσαύτως δὲ καὶ τὸ ὑπὸ πλειόνων ἀτόμων μεταλαμβάνεσθαι διά τινα αἰτίαν ἑτέραν συμβαίνει, τελικὴν μᾶλλον καὶ ὑλικὴν ἢ αὐτῷ τῷ εἴδει προσήκουσαν· τελικὴν μέν, ὅτι τὰ ἄτομα τοῦ τοιοῦδε εἴδους, φθαρτὰ ὄντα, οὐ δύνανται τῆς ἀϊδιότητος μετέχειν ἢ τῆς διηνεκείας, τό γε εἰς αὐτὰ ἧκον, ᾗ τοιάδε εἰσὶ καὶ οὕτως ὑπάρξεως ἔχοντα· καὶ διὰ τοῦτ' ἐχρῆν ἄτομα πλείω ἑνὶ ὑποβεβλῆσθαι εἴδει, ὡς ἂν τῷ ἀδιαλείπτῳ τῆς γενέσεως ἡ τοῦ εἴδους διαμονὴ καὶ συντήρησις περιγίνηται. Καὶ τοῦτο τῷ τοῦ Φιλοσόφου συνᾴδει σκοπῷ ἐν δευτέρῳ τῶν περὶ | ψυχῆς. Ὑλικὴν δὲ αἰτίαν εἶναι φαμὲν τοῦ τῶν ἀτόμων f. 56
πληθυσμοῦ τὸ τὸ τοιοῦτον εἶδος μὴ δύνασθαι ὅλης ὁμοῦ τῆς οἰκείας ὕλης περιδράξασθαι, καθάπερ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ συμβέβηκεν· ὥστε τὸ τοῦ εἴδους ἑνιαῖον ἐν τοῖς μοναδικοῖς οὐκ ἀσθενείας εἶναι μᾶλλον αὐτοῦ ἢ δυνάμεως ἐν τῷ τῆς ὕλης αὐτοῦ περιδράττεσθαι, καθάπερ εἴρηται πρότερον. Καὶ οὕτως ἐξ ἁπάντων τῶν εἰρημένων σαφές ἐστι λόγον εἶναι τοῦ εἴδους καὶ ὅλως τοῦ καθόλου τὸ ἐν πλείοσιν εἶναι καὶ κατὰ πλειόνων λέγεσθαι, τοὐλάχιστον ὅσον εἰς τὴν ἐπιτηδειότητα ἥκει, εἰ καὶ τὸ τοιοῦτο ζήτημα πολλῶν καὶ ἀκριβεστέρων δέοιτο λόγων ἁπλῶς, οἳ παροῦσαν χρείαν ὑπερελαύνουσιν.

Ἐφεξῆς λέγων· Ὡσαύτως δὲ ἀδύνατον ὀρθῶς λέγεσθαι, ἀφίστησι τὴν οὐσίαν, ὡς εἴρηται, τῶν λογικῶν ἐπινοιῶν καὶ κατὰ τὸν ἕτερον τρόπον, καί φησιν ὡς οὐ μόνον καθ' αὑτήν τε καὶ ἀπολελυμένως θεωρουμένῃ τῇ οὐσίᾳ ἀδύνατόν ἐστι τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι, ταὐτὸν δ' εἰπεῖν, τὸν τοῦ γένους ἢ τοῦ εἴδους λόγον, ἀλλ' οὐδὲ κατὰ τὸ εἶναι, ὅπερ ἐν τοῖς ἀτόμοις ἔχει· καὶ λόγον ἐπάγει τοιόνδε· Οὗ τῷ λόγῳ οὐκ ἔνεστιν ἡ ἑνότης, οὐ δυνατόν ἐστι τούτῳ τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι· ἀλλ' ἐκ τοῦ λόγου τῆς ἀνθρωπίνης φύσεως, ὡς ἔστιν ἐν τοῖς ἀτόμοις, ἡ ἑνότης οὐκ ἔστιν, ἀλλὰ μᾶλλον τὸ πλῆθος· τῇ ἄρα ἀνθρωπίνῃ φύσει εἴτουν οὐσίᾳ οὐ δεῖ τὴν λογικὴν ἐπίνοιαν ἀποδίδοσθαι. Τίθησι δὲ μόνον τὴν ἐλάττω τοῦ λόγου, λαμβάνει τε ἀντὶ μέσου οὐχ ἄμφω τὰ ἐκ

---

13 *τοιοῦδε*: *τοιούτου* L    28 *Ὡσαύτως δὲ ἀδύνατον*: c. IV, 2, p. 164, 27

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ λόγου τοῦ καθόλου τυγχάνοντα, τὴν ἑνότητα δηλαδὴ καὶ κοινότητα, καθάπερ ἐν τῷ πρὸ τοῦ λόγῳ, ἀλλὰ θάτερον τούτων μόνον, δηλαδὴ τὴν ἑνότητα· ἡ γὰρ κοινότης ἐκ τοῦ λόγου τῆς ἀνθρωπίνης ὑγιῶς ἐστι φύσεως, ὡς ἐν τοῖς ἀτόμοις ἔχει τό εἶναι. Τοῦτο δὲ οὐκ ἀτόπως ὁ διδάσκαλος οὕτω ποιεῖ· ἀρκεῖ γὰρ τῇ ἑνός τινος ἀναιρέσει συνθέτου τὸ θάτερον αὐτοῦ μέρος ἀνῃρῆσθαι, ὥσπερ ἀρκοῦν ἐστι δεῖξαι καὶ λόγον τινὰ ψευδόμενον, εἰ μία τῶν προτάσεων ψευδὴς οὖσα ἐλέγχοιτο. Οὕτω τοίνυν κἀνταῦθα, ἐπείπερ ἐκ τοῦ λόγου τοῦ καθόλου ἥ θ' ἑνότης ἥ τε κοινότης ἦν, ἀρκοῦν ἂν εἴη πρὸς τὸ δεῖξαί τι μὴ εἶναι καθόλου τὸ μὴ εἶναι ἕν, ἢ μὴ εἶναι κοινόν τι, ὡς ἐνταῦθα δέδειχεν ὁ διδάσκαλος μὴ προσήκειν τῇ ἀνθρωπίνῃ φύσει ὡς ἐν τοῖς πολλοῖς ἔχει τὸ εἶναι τὴν ἑνότητα, ὥς τε μηδὲ τὸν τοῦ καθόλου λόγον. Εἶτ' εὐθὺς δείκνυσιν | (f. 56v) ἑπομένως πῶς ἂν ἀποδιδοῖτο τῇ οὐσίᾳ ἡ λογικὴ ἐπίνοια.

## LXII.

ξβ'. Ὅπως ἀποδίδοται τῇ οὐσίᾳ ἡ λογικὴ ἐπίνοια.

Ἐπειδὴ γάρ, φησίν, αἱ ἐπίνοιαι ταῖς οὐσίαις οὐκ ἀποδίδονται οὔτε θεωρουμέναις καθ' αὑτὰς καὶ ἀπολελυμένως, οὔτε ὡς ἔχουσιν ἐν τοῖς ἀτόμοις τὸ εἶναι, ὑπόλοιπόν ἐστιν ἀποδίδοσθαι τὰς τοιαύτας ἐπινοίας αὐταῖς ὡς ἔχουσιν ἐν τῷ νῷ τὸ εἶναι, καὶ φανεροῖ πῶς αὐταῖς οὕτω δυνατόν ἐστι τὰς ἐπινοίας ἀποδίδοσθαι. Αὐτὴ γάρ, φησίν, ἡ τοῦ ἀνθρώπου φύσις ἔχει ἐν τῷ νῷ τὸ εἶναι ἐκ πάντων τῶν ἀτόμων ἀφῃρημένον. Ἅτε οὖν ἐκ πάντων ἀφῃρημένη, ἑνοειδῶς ἀναφέρεται πρὸς πάντα τὰ ἄτομα, ἅπερ εἰσὶν ἔξω, καθό ἐστιν ὁμοιότης ἁπάντων ἐπίσης εἰς τὴν πάντων ἐνάγουσα γνῶσιν, ᾗ εἰσὶν ἄνθρωποι, καὶ ἐκ τοῦ τοιαύτην ἀναφορὰν ἔχειν πρὸς πάντα τὰ ἄτομα θεωρεῖ τε ὁ νοῦς ὅπως δύναται προσήκειν πολλοῖς καὶ κατὰ πολλῶν λέγεσθαι, καὶ τὸν λόγον ἀνευρίσκει τοῦ εἴδους, ὅς ἐστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι διαφερόντων ἀριθμῷ ἐν τῷ τί ἐστιν, καὶ τοῦτον ἀποδίδωσιν αὐτῷ· καὶ τοῦτο, φησίν, εἶδος καλείσθω· ὥσπερ δὲ περὶ τῆς εἰδοποιοῦ φύσεως εἴρηται, οὕτω δεῖ νοεῖν καὶ περὶ τῆς τοῦ γένους φύσεως ἐν τῇ πρὸς τὰ εἴδη τάξει· ὡσαύτως καὶ περὶ τῆς διαφορᾶς· καὶ τοῦτο βεβαιοῖ τῇ τοῦ Ἀβερόου ῥήσει, λέγοντος νοῦν εἶναι τὸν ἀποδιδόντα τὸ καθόλου τοῖς πράγμασιν.

## LXIII.

ξγ'. Ὅπως διαφέρουσιν ἡ πρώτη ἐπίνοια καὶ ἡ δευτέρα.

Ἰστέον δὲ ὅτι πρώτη καὶ δευτέρα ἐπίνοια διενηνόχατον τῷ πρώτην μὲν ἐπίνοιαν εἶναι, τὸ πρὸς ὃ φέρεται πρώτως ὁ νοῦς, καὶ τοῦτ' ἔστιν ἡ οὐσία καὶ τὸ τί ἐστι τοῦ πράγματος, ὥσπερ ἡ ἀνθρωπότης πρώτη ἐστὶν ἐπίνοια τοῦ ἀνθρώπου, διότι οὐσία τοῦ ἀνθρώπου ἐστί. Δευτέρα δέ ἐστιν ἐπίνοια, τὸ εἰς ὃ δευτέρως ὁ νοῦς φέρεται, δηλονότι τοῦτο δὴ τὸ κατηγορεῖσθαι κατὰ πλειόνων, τῆς προθέσεως ἐνταῦθα ἐπιθήκην τινὰ καὶ τὸ